# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΚΑΡΙΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΟΡΙΝΘΟΥ

## Τοῦ Νοταρᾶ.

ΕΚΔΟΘΕΙΣΑ

Ἐπιμελείᾳ καὶ Δαπάνῃ

ΓΕΩΡΓΙΟΥ ΒΟΥΤΖΑΔΗ Ἱερέως.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΕΡΜΟΥΠΟΛΕΙ.

ΤΥΠΟΙΣ ΑΣΤΕΡΟΣ.

1885.

# ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΚΑΡΙΟΥ
ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΟΡΙΝΘΟΥ

## Τοῦ Νοταρᾶ.

ΕΚΔΟΘΕΙΣΑ

*Ἐπιμελείᾳ καὶ Δαπάνῃ*

ΓΕΩΡΓΙΟΥ ΒΟΥΤΖΑΔΗ Ἱερέως.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΙΕΡΑ ΜΗΤΡΟΠΟΛΙΣ ΧΙΟΥ

**ΕΝ ΕΡΜΟΥΠΟΛΕΙ.**

ΤΥΠΟΙΣ ΑΣΤΕΡΟΣ.

**1885.**

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΑΚΑΡΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΟΡΙΝΘΟΥ

*Τοῦ Νοταρᾶ*

*Ποιηθεῖσα παρὰ Νικηφόρου Ἱερομονάχου τοῦ Χίου.*

---

Ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια· ἦχος ά.
Τῶν οὐρανίων ταγμάτων.

Τὸν Θεοπρόβλητον ὄντως Κορίνθου Πρόεδρον, τὸν λειτουργὸν Κυρίου, καὶ τῆς Χίου λαμπτῆρα, Μακάριον τὸν θεῖον, θείαις ᾠδαῖς, ἱερῶς εὐφημήσωμεν, καὶ γὰρ πρεσβεύει Κυρίῳ διὰ παντὸς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸν ἰσαγγέλως ἐν Κόσμῳ πολιτευσάμενον, ἀσκητικοῖς ἀγῶσι καὶ ἀτρύτοις καμάτοις, καὶ νῦν μετὰ Ἀγγέλων ἐν οὐρανοῖς τῷ Θεῷ παριστάμενον, καὶ ταῖς ἐκεῖθεν ἀκτῖσι ταῖς θεουργαῖς ἐξαστράπτοντα ὑμνήσωμεν.

Ἡ Πελοπόννησος χαῖρε, ἐπεὶ ἐβλάστησας, τὸ παρθενίας ἄνθος, καθαρότητος κρίνον, τὸ ῥόδον τὸ εὐῶδες, τὸν εὐκλεᾶ Ἱεράρχην Μακάριον, τὸν ταῖς ὀσμαῖς τοὺς ἐν Χίῳ πνευματικαῖς, θείων ἔργων κατευφραίνοντα.

Πάρεσο νῦν ἀοράτως, θεῖε Μακάριε, ἡμῖν τοῖς σὲ ὑμνοῦσιν, Ἱεράρχα Κυρίου, μετὰ τῶν νεοάθλων σου τῶν κλεινῶν, οὓς ἐνθέοις σου ἤλειψας, λόγοις καὶ τρόποις ἀθλῆσαι ὑπὲρ Χριστοῦ, καὶ δεινῶν παντοίων ῥύσασθαι.

## Δόξα ἦχ. πλ. δ'.

Πεπλήρωται ἤδη καὶ ἐπὶ σοὶ ἡ ἐν Εὐαγγελίοις τοῦ Κυρίου φωνὴ, ὥσπερ καὶ ἐπὶ τοῖς πάλαι ὁσίοις τε καὶ Ἱεράρχαις, ὅσιε Πάτερ Ἱεράρχα Μακάριε. Ἡλίου γὰρ δίκην ἔλαμψεν ἐν Κόσμῳ, τὸ φῶς τῶν σῶν ἀρετῶν, ἀξιάγαστε, καὶ παρὰ πάντων δοξάζεται ὁ οὐράνιος Πατὴρ, σὺν τῷ Υἱῷ καὶ τῷ Πνεύματι, ἡ ἁγία Τριὰς ὁ Θεὸς ἡμῶν.

## Καὶ νῦν τῆς Ἑορτῆς.

## Εἰς τὸν στίχον στιχηρ. ἦχ. β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Τὸ θέλημα τὸ σὸν, ὑπέταξας ἐμφρόνως, τῷ νόμῳ τοῦ Κυρίου, δι' ὃ σε δοξασθέντα, θεόθεν μακαρίζομεν.

## στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν.

Κρήνη ἡ σὴ σορὸς, καὶ τὰ σεπτὰ ὀστέα, θαυμάτων ἀνεδείχθη, τοῖς πίστει προσιοῦσι, φερώνυμε Μακάριε.

## Στοίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Φύλακα ἀκριβῆ, τῶν θείων ἐνταλμάτων, εἰδότες σε τιμῶμεν, Μακάριε θεόφρον, καὶ ἀληθείας πρόμαχον.

## Δόξα, ὅμοιον.

Τὸν θεῖον λειτουργὸν, τὸν σὸν, Τριὰς ἁγία, εὐπρόσδεκτον μεσίτην, προσάγοντες αἰτοῦμεν, παραπτωμάτων ἄφεσιν.

## Καὶ νῦν ὅμοιον.

Πανάχραντε Ἁγνὴ, πρέσβευε τῷ Υἱῷ σου, μετὰ τοῦ Ἱεράρχου, τοῦ σοῦ πιστοῦ ο ἰ κ έ τ ο υ, ὑπὲρ ἡμῶν τῶν δούλων σου.

Τὸ δὲ Ἀπολυτίκιον ὅρα ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ· γίνεται δὲ ἀπόλυσις ὡς σύνηθες.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ Ν. ΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ



Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ ψάλλομεν τὸ Μακάριος ἀνὴρ, τὸ Α'. ἀντίφωνον· Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμ. στίχ. η'. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια· ἦχ. πλ. δ'.

## Ὢ τοῦ παραδόξου θαύματος!

Ἀρχιερέων ὁ σύλλογος, καὶ τῶν ὁσίων πληθὺς, καὶ μαρτύρων τὸ σύνταγμα, καὶ δικαίων ἅπαντες, οἱ χοροὶ συναγάλλονται, ἐπὶ τῇ θείᾳ μνήμῃ σου σήμερον, Ἀρχιερέα καὶ γὰρ ἡ χάρις σε, προεχειρίσατο, καὶ κανόνα βίου σε τῶν ἀσκητῶν, καὶ μαρτύρων ἔνθεον, ἀλείπτην ἔδειξε.

Σὲ μακαρίζει Μακάριε, ἐν εὐφροσύνῃ ψυχῆς, τῶν πιστῶν τὰ συστήματα, ὡς ὄντως μακάριον, τῇ τε κλήσει καὶ πράγματι, ὡς Ἱεράρχην ὅσιον, ἄκακον, μονήρους βίου ὡς εἰσηγήτορα, καὶ ὡς θεόφρονα, καὶ σοφὸν Διδάσκαλον πρὸς ἀρετὴν, τῶν προσερχομένων σοι, καὶ ὡς πεινώντων τροφήν.

Τῆς ὑπὲρ νοῦν ὀρεγόμενος, καὶ οὐρανίου τρυφῆς, Ἱεράρχα Μακάριε, πᾶσαν ἡδυπάθειαν, ἀπηρνήσω θεόληπτε, ὑπωπιάζων νηστείᾳ πάνσεπτε, συντονωτάτῃ, τὸ θεῖον σῶμά σου, Παῦλον μιμούμενος, καὶ παννύχοις στάσεσι, καὶ προσευχαῖς, καὶ γονάτων κλίσεσι, δουλαγωγῶν αὐτό.

Πηγὴν ἐλέους σὲ ἔγνωμεν, συμπαθεστάτην ψυχὴν, θλιβομένων παράκλησιν, ὀρφανῶν τροφέα τε, καὶ χηρῶν ἀντιλήπτορα, ἁμαρτανόντων τὸ παραμύθιον, ἀρνησιχρίστων τὸ καταφύγιον, καὶ πρὸς τὴν ἄθλησιν, τῶν Μαρτύρων, ὅσιε, λόγοις σοφοῖς καὶ ἔργοις Μακάριε, ἀλείπτην ἄριστον.

## Δόξα ἦχ. πλ. β'.

Ὅσιε τρισμάκαρ ἁγιώτατε Πάτερ, Ἱεράρχα Μακάριε, χαῖρε καὶ εὐφραίνου, Χριστὸν ἀπολαβὼν τὸν σὸν ἔρωτα, καὶ τὴν χάριν τῶν θαυμάτων παρ' αὐτοῦ κομισάμενος· τῶν παθῶν γὰρ ἀπαλλάττεις τοὺς πάσχοντας, καὶ πνεύματα ἀπελαύνεις,

τὰ ἀκάθαρτα· ὧν τῆς πλάνης ῥυσθείημεν οἱ πόθῳ τιμῶντες σε, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις ἱκεσίαις σου.

## Καὶ νῦν, τῆς Ἑορτῆς. Ἀναγνώσματα τοῦ μεγάλου Γρηγορίου τοῦ θεολόγου. Εἰς τὴν Λιτὴν ά. τοῦ ἁγ. τῆς Μονῆς, εἶτα τοῦ Ἁγίου, ἦχος ά.

Τῷ φόβῳ τοῦ Κυρίου στοιχιούμενος, καὶ ὁλοτρόπως ἐκ παιδὸς αὐτῷ ἀνακείμενος, ἐκ παντὸς μολυσμοῦ τὴν ψυχὴν καὶ τὸ σῶμα ἀνώτερον ἐτήρησας, Μακάριε· ὅθεν χρισθεὶς τῷ Πνεύματι, χρίσματι ἁγίῳ, λειτουργὸς τῶν τοῦ Χριστοῦ μυστηρίων ἐγένου, ὅσιος, ἄκακος καὶ ἀμίαντος, καὶ λαμπροτέραν τὴν Ἱεραρχίαν ἀνέδειξας, τοῖς ἀσκητικοῖς σου ἀγωνίσμασι· διὸ πρεσβεύων μὴ παύσῃ, δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

### Ἦχ. β.

Ἡ τοῦ Πνεύματος χάρις, τῆς Κορίνθου σὲ Πρόεδρον, καὶ πιστὸν οἰκονόμον, ἱερῶς προυχειρίσατο, θείων Μυστηρίων λειτουργόν, θεοφόρε Μακάριε· εἶτα λόγοις ἀπορρήτοις Θεοῦ προνοίας, εἰς τὴν Χίον μεταστάς, ἐνθέοις λόγοις καὶ πράξεσι διέπρεψας, καὶ τέλος τὸ τοῦ βίου ἐν αὐτῇ ἐδέξω ὄντως θεοδόξαστον, θαυμάτων παραδόξων πλουσίαν θεόθεν χάριν κομισάμενος.

### Ἦχ. πλ. δ'.

Πεπλήρωται ἤδη καὶ ἐπὶ σοὶ ἡ ἐν Εὐαγγελίοις τοῦ Κυρίου φωνή, ὥσπερ καὶ ἐπὶ τοῖς πάλαι ὁσίοις τε καὶ Ἱεράρχαις, ὅσιε Πάτερ Ἱεράρχα Μακάριε· ἡλίου γὰρ δίκην, ἔλαμψεν ἐν Κόσμῳ, τὸ φῶς τῶν σῶν ἀρετῶν, ἀξιάγαστε, καὶ παρὰ πάντων δοξάζεται ὁ οὐράνιος Πατήρ, σὺν τῷ Υἱῷ καὶ τῷ Πνεύματι, ἡ ἁγία Τριὰς ὁ Θεὸς ἡμῶν.

### Δόξα ἦχ. δ'.

Οὐκ ἔδει σε Ἱεράρχα, τὸν διὰ βίου παντός, παντοίαις ἀρετῶν ἰδέαις, τὸν Θεὸν δοξάσαντα, καὶ ἐν οὐρανῷ παρ' αὐτοῦ δοξασθέντα, μὴ καὶ ἐπὶ γῆς διὰ σημείων δοξασθῆναι, ἀοίδιμε· δι' ὃ θαυμάτων εἴληφας τὴν ἐνέργειαν, θεραπεύων πᾶσαν νόσον, καὶ δαίμονας ἐξ ἀνθρώπων ἀπελαύνων, ἐφ' ὧν δοξάζεται ἐν σοί, ὃν ἐδόξασας Θεός, ὁ δοξάζων τοὺς αὐτὸν ἀντιδοξάζοντας.



## Καὶ νῦν τῆς Ἑορτῆς.
## Εἰς τὰ ἀπόστιχα τοῦ Ἁγίου ἦχος πλ. ά.
## Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἀσκητικαῖς ἀγωγαῖς, τὸ κατ' εἰκόνα διασώσας ἀλώβητον, Μακάριε τὸ τοῦ Κτίστου, νῦν ἡγεμόνα τὸν σόν, ἀνδρικῶς θεόφρον ἐνστησάμενος, πρὸς πάθη ὀλέθρια, καὶ τὸ χεῖρον τῷ κρείττονι, καθυποτάξας, καὶ τὴν σάρκα τῷ Πνεύματι, δουλωσάμενος ἀνενδότοις ἀγῶσι σου, καὶ εἰς τὸ καθ' ὁμοίωσιν, ὡς ἦν Πάτερ Ὅσιε, ἀναδραμὼν τε καὶ φθάσας, καὶ νῦν τυχὼν τῆς θεώσεως, μὴ παύσῃ πρεσβεύων ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

### Στίχ. Οἱ Ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην

Χαίροις Ἀρχιερέων λαμπρόν, καὶ θεῖον εὖχος, καὶ σεμνὸν ἐγκαλλώπισμα, εὐπρέπεια μοναζόντων, καὶ Ἐκκλησίας φωστήρ, καὶ τῆς εὐσεβείας φύλαξ ἄσειστε, προστάτα θερμότατε, βοηθὲ ἑτοιμότατε, τῶν ἐν ἀνάγκαις, καὶ δειναῖς περιστάσεσι καὶ ἐν θλίψεσιν, ἀληθῶς χριστομίμητε, θεῖε ὄντως Μακάριε, γαυρίασμα ἔνθεον, τῶν ἀκριβῶς ἑπομένων, ταῖς Πατρικαῖς παραδόσεσιν, ἅσπερ νῦν θεόθεν, κυρωθείσας καθορῶντες, σκιρτῶσι πνεύματι.

### Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίρει πᾶσα πιστῶν ἡ πληθύς, σοῦ δοξασθέντος ἐξαισίοις ἐν θαύμασι, θεσπέσιε Ἱεράρχα, καὶ μετὰ πόθου πολλοῦ πάντοθεν συντρέχει, εἰς προσκύνησιν, τῶν θείων λειψάνων σου, καὶ σοροῦ τῆς πανσέπτου σου, καὶ νοσημάτων ἐξαιτεῖται τὴν ἴασιν, μετὰ πίστεως ἀδιστάκτου Μακάριε. Κρήνη γὰρ ἀναδέδεικται, θαυμάτων ἀκένωτος, καὶ ἀεννάως προχέει, τῶν



ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ἰαμάτων τὰ ῥεύματα, ἐκ Πνεύματος Θείου, καὶ Θεὸς ὁ σὲ δοξάσας ἀντιδοξάζεται.

### Δόξα ἦχ. πλ. δ'.

Τὸν ἔνθεον Ἱεράρχην καὶ Ὅσιον, τὸν τῆς Κορίνθου Πρόεδρον, τὸν ὄντως Μακάριον εὐφημήσωμεν, Πελοποννήσου τὸ θρέμμα, καὶ Χίου τὸν θεῖον κοσμήτορα· χαίροις αὐτῷ μελῳδοῦντες, ὁ τὴν Ἱεραρχίαν τῇ ἀσκήσει λαμπρύνας, θεσπέσιε· χαίροις, ὁ ἐγκρατείᾳ συντόνῳ τὰ πάθη νεκρώσας, ὁ παννύχοις στάσεσι καὶ προσευχαῖς ἀδιαλείπτοις καὶ δάκρυσι, Χριστὸν εἰσοικισάμενος ἐν τῇ ψυχῇ σου· ὃν καθικέτευε ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

### Καὶ νῦν, τῆς Ἑορτῆς.
### Ἀπολυτίκιον ἦχ. ά. Τῆς ἐρήμου πολίτης.

Τὸν Κορίνθου Ποιμένα, τὸν τῷ ὄντι Μακάριον, τὸν Θεοῦ προνοίᾳ τῆς Χίου, ἀῤῥήτοις λόγοις μέγαν κοσμήτορα, τὸν πράξεσι καὶ λόγοις καὶ εὐχαῖς, ἐκλάμψαντα αἰνέσωμεν πιστοί· θεραπεύειν γὰρ νοσοῦντας, καὶ ἀπελαύνειν ἀκάθαρτα πνεύματα, εἴληφεν ὄντως χάριν ἐκ Θεοῦ, τοῦ νῦν γε τοὺς δοξάζοντας αὐτὸν θείως ἀντιδοξάζοντας ἐξ ὕψους δωρουμένου δι' αὐτῶν, πᾶσι τὰ πρόσφορα.

### καὶ τὸ τῆς Ἑορτῆς.

---

### Εἰς τὸν Ὄρθρον τὰ Καθίσματα.
### Μετὰ τὴν ά. στιχολ. Κάθισμα ἦχ. πλ. δ'.
### Τὴν σοφίαν καὶ λόγον.

Ἐκ παιδὸς ἀνετέθης τῷ Ποιητῇ, ὁλικῇ διαθέσει ὡς ἀληθῶς. Ὅθεν κατελέλοιπας, τὴν τοῦ βίου τερπνότητα, διὸ τὴν σὴν εὑροῦσα, ψυχὴν ὅλως ἄσπιλον, Πνεύματος ἡ χάρις, ἀξίως σὲ ἔχρισε, χρίσματι ἁγίῳ, καὶ Ποιμένα δεικνύει, Κορίνθου καὶ Πρόεδρον, θεοφόρε Μακάριε, ἣ καὶ νῦν τὰ ὀστέα σου, δείκνυσι πηγὴν θαυμαστήν, ἰαμάτων πᾶσι τοῖς αἰτοῦσί σου, τῶν σῶν θαυμ των τὴν χάριν, τὴν ὄντως θεόσδοτον.



### Δόξα καὶ νῦν. τῆς Ἑορτῆς.
### Μετὰ τὴν β' στιχολογ. Κάθ. ἦχ. δ'.
### Ἐπεφάνης σήμερον

Θησαυρὸν οὐράνιον, καὶ ὄλβον θεῖον, τὰ σεπτὰ ὀστέα σου, ὁ χριστεπώνυμος λαός, τῆς νήσου Χίου ἐπλούτησεν, ὅσιε Πάτερ, θεόφρον Μακάριε.

### Δόξα καὶ νῦν, τῆς Ἑορτῆς. Μετὰ τὸν Πολυέλεον,
### Καθ. ἦχ. γ'. Θείας πίστεως.

Φλέγει πνεύματα, τῆς πονηρίας, τῶν ὀστέων σου ἡ θεία χάρις, Ἱεράρχα τοῦ Κυρίου Μακάριε, καὶ τῶν παθῶν ἀπαλλάττει τοὺς πάσχοντας, καὶ ὑπὸ πάντων τὰ σὰ θεῖα θαύματα, Πάτερ Ὅσιε, φωνῇ διατόρῳ ᾄδεται, καὶ μετ' εὐλαβείας διακηρύττεται.

### Δόξα καὶ νῦν, τῆς Ἑορτῆς· εἶτα οἱ Κανόνες· ὁ τοῦ Πάσχα εἰς ς' καὶ τοῦ Ἁγίου εἰς ή.
### Ὠδὴ ά. ἦχ. πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Νεῦσον εὐσπλάγχνως ταῖς ἡμῶν δεήσεσιν, Ἱεραρχῶν καλλονή, τῶν οἰκτρῶν σου δούλων τῶν τὴν σὴν ἀντίληψιν αἰτούντων μετὰ πίστεως, εὐλαβείας καὶ πόθου, καὶ τῶν δεινῶν ἡμᾶς λύτρωσαι, ταῖς σαῖς ἱκεσίαις Μακάριε.

Κλέος Ὁσίων Ἱερὸν Μακάριε, ὡς παῤῥησίαν πολλήν, ἔχων ἱκετεύειν τὸν Χριστὸν ἀοίδιμε, ὃν ἀρεταῖς ἐδόξασας, μὴ ἐλλείπῃς πρεσβεύων, ὑπὲρ ἡμῶν τῶν τιμώντων σε, καὶ τὴν προστασίαν αἰτούντων σου.

Τοὺς παρεστῶτας τῇ σεπτῇ εἰκόνι σου, σὺν τῷ λειψάνῳ τῷ σῷ, καὶ τὴν σὴν αἰτοῦντας, κραταιὰν ἀντίληψιν, περίσωζε Μακάριε, ἐκ παντοίων κινδύνων, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου, τῶν ἐπερχομένων καὶ θλίψεων.

### Θεοτοκίον.

Ἁγνὴ Παρθένε τοῦ Θεοῦ λοχεύτρια, Χριστιανῶν, ἡ ἐλπίς, τῶν ἀβοηθήτων, κραταιὰ βοήθεια, τῶν ἀσθενῶν ἡ δύνα-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

μις, ἡ χαρὰ θλιβομένων, ταῖς σαῖς λιταῖς ἀγαλλίασιν, τὴν τῆς σωτηρίας ἀπόδος μοι.

Ἕτερος Κανὼν εἰς τὰ θαύματα τοῦ ἁγίου.
Ποίημα Ἀθανασίου τοῦ Παρίου ἦχ. δ΄.
Ἀνοίξω τὸ στόμα μου.

Θαῤῥοῦντες κηρύττομεν, τῶν σῶν θαυμάτων τὰ ἔνδοξα, παμμάκαρ Μακάριε, Ἱεραρχῶν καλλονή, ὃν ἐδόξασας, Χριστός γάρ σε δοξάζει, καὶ παύεις νοσήματα, ὄντως ἀνίατα. Δίς.

Ἐν πρώτοις κοράσιον, πληγῶν ἀγρίων ἀπήλλαξας, καὶ θᾶττον ἀπέκλεισας, οἷον εἰπεῖν αὐθωρὸν, χειρουργούμενον ἐτῶν διὰ τεσσάρων· ὡς μέγα τὸ θαῦμά σου, Πάτερ ἀοίδιμε.

Θεοτοκίον.

Παρθένε πανάμωμε, ἡ τῶν Ἀγγέλων εὐπρέπεια, ἀνθρώπων βοήθεια, σύ μοι βοήθησον, θαλαττεύοντι, καὶ ζάλῃ ἁμαρτίας, ἀεὶ περιπίπτοντι, καὶ κινδυνεύοντι.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Δυσμενῶν ἐπηρείας, τῶν νοητῶν Ἅγιε, καὶ τῶν αἰσθητῶν, τοὺς σοὺς δούλους ἡμᾶς περίσωζε, ταῖς σαῖς δεήσεσι, ταῖς εὐπροσδέκτοις καὶ θείαις, πρὸς Χριστὸν, Μακάριε, τὸν πανοικτίρμονα.

Τῶν θαυμάτων τὴν χάριν, τὴν σὴν ἡμῖν ἔνδειξον, τοῖς σοῖς θεοφόρε οἰκέταις, τοῖς σοὶ προσφεύγουσιν, ἵνα σε ᾄσμασι, χρεωστικῶς εὐφημῶμεν, καὶ πιστῶς δοξάζωμεν, θεομακάριστε.

Ἀσκητὴς θεοφόρος, Ἀρχιερεὺς ἔνθεος, καὶ σημειοφόρος ἐγνώσθης, θεῖε Μακάριε, καὶ φοβερὸς ἐλατὴρ, τῶν ἀκαθάρτων πνευμάτων, ἰατὴρ νοσούντων τε φιλανθρωπότατος.

Θεοτοκίον.

Μητρικὴν παῤῥησίαν, πρὸς τὸν Υἱὸν ἔχουσα, ἵλεων ἡμῖν Θεοτόκε, εὐχαῖς σου ποίησον, τοῖς ἁμαρτάνουσιν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῆς φρικτῆς ἐτάσεως, ἵνα ὑμνῶμέν σε.



Ἄλλος. Τοὺς σοὺς ὑμνολόγους.

Τοῦ Τρύφωνος σώζεις τὸ παιδίον, τὸ ξένον ὡς δύσμορφον τεχθὲν, θέαμα εἰδεχθέστατον, καὶ ἰατρῶν ἀπόγνωσμα· σὺ δὲ μορφώσας ἔδειξας, εὐφραῖνον κάλλει τοὺς φύσαντας·

Δαιμόνια πόῤῥω ἀπελαύνειν, τοῖς ζῶσιν ὑπέσχετο, Χριστός, εἰς δεῖγμα θείας πίστεως· σὺ δέ γε μετὰ θάνατον, τὴν χάριν ταύτην ἔσχηκας, τὴν σὴν δηλοῦσαν θειότητα.

Ἀπόδειξις τούτου λαμπροτάτη· ὡς γὰρ προσεκλήθης παρευθεὺς, τῷ ἱερεῖ ἐπένευσας, καὶ τὴν βαρέως πάσχουσαν, θεραπευθεῖσαν ἔδειξας ἐξ ἀνιάτου νοσήματος.

Θεοτοκίον.

Χειμάζει με κλείδων ἁμαρτίας, καὶ σάλος ἀτόπων λογισμῶν· σπλαγχνίσθητι, Πανάμωμε, καὶ χεῖρα βοηθείας μοι, ὡς συμπαθὴς ἐφάπλωσον, ὅπως σωθεὶς μεγαλύνω σε.

Κάθισμα. ἦχ. ά. Τὸν τάφον σου Σωτήρ.

Ἰλύος ἐμπαθοῦς, σεαυτὸν ἐκκαθάρας, Μακάριε σοφὲ, Ἱεράρχα Κυρίου, δοχεῖον Ἱερώτατον, ἀρετῶν ἐχρημάτισας, καὶ πανέντιμον, σκεῦος χαρίτων ἐγένου, τῶν τοῦ Πνεύματος, διὸ ἐν ὕμνοις τελοῦμεν τὴν ἔνδοξον μνήμην σου.

Δόξα, καὶ νῦν τῆς Ἑορτῆς.
Ὠδὴ δ΄. Σύ μου ἰσχὺς, Κύριε.

Ἐν Ἱεραῖς, ἀνευφημοῦμεν Μακάριε, ὑμνῳδίαις, τοὺς λαμπροὺς ἀγῶνάς σου! οὓς ἠγωνίσθης κατὰ παθῶν, καὶ τὴν τῶν θαυμάτων πλουσίαν χάριν κηρύττομεν, ἣν εἴληφας θεόθεν ἐπαξίως καὶ νέμεις, συμπαθῶς τοῖς αἰτοῦσι τὰ πρόσφορα.

Τοὺς ἐν δεινοῖς, ἕλκοντας βίον ἀβίωτον, τῆς δουλείας, ἔπιδε ὡς εὔσπλαγχνος, καὶ ἱκεσίαις σου πρὸς Θεὸν, εὐπαῤῥησιάστοις, ῥῦσαι ἡμᾶς τούτων ἅπαντας, Μακάριε θεόφρον, τοὺς ἐν σοὶ πεποιθότας καὶ προσφεύγοντας πίστει τῇ σκέπῃ σου.

Στέφος λαμπρὸν, τῶν σῶν ἀγώνων ἐπάξιον, ἐκομίσω, ὡς ἀγωνισάμενος, καὶ νίκης τρόπαια θαυμαστὰ, κατ᾽ ἐχ-

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

θρῶν ἐγείρας, καὶ τῶν παθῶν τῶν τοῦ σώματος. Μακάριε θεόφρον, Ἱεράρχα Κυρίου, καὶ θαυμάτων τὴν χάριν ἀπείληφας.

Θεοτοκίον.

Πᾶσαν ἡμῶν, Δέσποινα ἀνατιθέμεθα, τὴν ἐλπίδα, ἐπὶ σοὶ οἱ δοῦλοί σου· σὺ γὰρ ὑπάρχεις ὡς ἀληθῶς, τῶν ἀπηλπισμένων, ἐλπὶς βεβαία πανάγαθε, διὸ πάσης ἀνάγκης, συμφορᾶς τε καὶ βλάβης, καὶ κολάσεως ῥῦσαι πρεσβείαις σου.

Ἄλλος. Τὴν ἀνεξιχνίαστον.

Τὴν θείου λειψάνου σου χάριν ὑμνεῖ, ὁ τακεὶς ἐκ νόσου Νικόλαος, ὅς τις αὐτίκα, ἐγερθεὶς εἰς τὸν Ναόν, ἀναδραμὼν ἐκραύγαζε· δόξα τῇ δυνάμει σου, Κύριε !

Οἱ πάντες ἐξέστησαν τὸν πρὶν οἰκτρόν, καὶ ἀπεγνωσμένον θεώμενοι, ἐγερθέντα αὐθωρεί, καὶ ἀδεῶς κηρύττοντα, μέγας ὁ Κορίνθου Μακάριος.

Διπλῆν δὲ τὴν ἴασιν, Πάτερ ποιεῖς· βιοὺς γὰρ ἀτάκτως τὸ πρότερον, νῦν εὐτάκτως διαζῶν, εὐχαριστῶν κραυγάζει σοι· χάρις σοι παμμάκαρ, τῷ ῥύστῃ μου.

Θεοτοκίον.

Ἡ πανυπερθαύμαστος Μήτηρ Θεοῦ, λάμψον μετανοίας ἀκτῖνά μοι, λῦσον τὸν ζόφον, τῶν ἀμέτρων μου κακῶν, τοὺς πονηροὺς ἀπέλασον, Κόρη λογισμοὺς τῆς καρδίας μου.

Ὠδ. ε΄. Ἵνα τί με ἀπώσω.

Ἔχοντες σὲ προστάτην, Ἱεράρχα Κυρίου θεῖε Μακάριε, πάντες εὐχαρίστοις, ἀνυμνοῦμέν σε ὕμνοις οἱ δοῦλοί σου, πρὸ τῶν σῶν λειψάνων, δέει ἱστάμενοι καὶ πόθῳ, ὡς φρουρὸν ἡμῶν ὄντα, καὶ φύλακα.

Τῶν σωμάτων τὰ ἄλγη, ἴασαι Μακάριε, ἡμῶν τῶν δούλων σου, ταῖς σαῖς πρὸς τὸν Κτίστην, ἱεραῖς ἱκεσίαις καὶ κόπασον, τῶν παθῶν τὸν σάλον, τῶν ψυχικῶν καὶ ἐν γαλήνῃ, ἀκυμάντῳ βιοῦν ἡμᾶς ποίησον.

Στεφηφόρος ἐν δόξῃ νῦν τῷ τῆς θεότητος θρόνῳ παρί-



στασαι, σῶν καλῶν ἀγώνων, ἀπολαύων Μακάριε ἔπαθλα· αἴτησαι οὖν θεῖε, ὡς παῤῥησίαν κεκτημένος, καὶ ἡμῖν τῶν πταισμάτων τὴν ἄφεσιν.

Θεοτοκίον.

Ἀποῤῥήτως Παρθένε, τὸν ἀχώρητον ἔσχες Θεὸν ἐν μήτρᾳ σου, καὶ ἀδιαφθόρως, ἀπεκύησας τοῦτον Πανάμωμε, μέγα σου τὸ κλέος, καὶ θαυμαστὰ τὰ μεγαλεῖα, ἃ Θεὸς ὡς Μητρί σοι πεποίηκε.

Ἄλλος. Ἐξέστη τὰ σύμπαντα.

Γυνή τις ὡς ἔτυχεν, ἐν τῇ ὁδῷ βαδίζουσα, λίθῳ ἐν τῇ μήνυγγι πληγεῖσα, πέπτωκεν οὕτως ὡς νομισθῆναι νεκρά, καὶ γέγονεν ἅπασι γνωστή, μάκαρ ἡ θειότης σου, εἰς τὸ ζῆν μεταστήσαντος.

Ἐπέστης γὰρ πρόθυμος, κατ' ὄναρ δεηθέντων σου, καὶ τὰ ἐπιθέματα ἐκρίψας, χειρὶ ἁγίᾳ τὴν ὀλεθρίαν πληγήν, ἐσφράγισας, ἔγειρε εἰπών, βόα, ὡς ἰάσατο, ὁ Κορίνθου Μακάριος.

Θεοτοκίον

Ἰσχύς τε καὶ στήριγμα, τῆς ἀσθενοῦς καρδίας μου, σὺ εἶ ἀπειρόγαμε Παρθένε, ἄῤῥηκτον τεῖχος ἀπὸ προσώπου ἐχθρῶν, σώζουσα δεινῶν τὰς προσβολάς, τρέπουσα τὰς φάλαγγας, τοῦ δεινοῦ πολεμήτορος.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Συντήρησον ἀσινεῖς, ταῖς σαῖς πρεσβείαις Μακάριε, ἐξ ἐπηρείας ἐχθρῶν, τοὺς σοὶ καταφεύγοντας, ἐκ πόθου καὶ πίστεως, καὶ εἰρήνην δίδου, καὶ πταισμάτων τὴν συγχώρησιν.

Εἰσάκουσον στεναγμοῦ, τῆς κατωδύνου καρδίας μου, καὶ συμπαθῶς ἐπ' ἐμὲ ἐπίβλεψον δέομαι, βοῶ σοι Μακάριε, λειτουργὲ Κυρίου, καὶ δεινῶν παντοίων ῥῦσαί με.

Θαυμάστωσον ἐπ' ἐμέ, τὰ σὰ ἐλέη φιλάνθρωπε, τὸν σὸν οἰκέτην Χριστέ, μεσίτην προσάγοντα, τῇ σῇ ἀγαθότητι, τὸν ἐν Ἱεράρχαις θαυμαστὸν θεῖον Μακάριον.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Θεοτοκίον.

Ταῖς ἱκεσίαις ταῖς σαῖς, Ἁγνὴ Παρθένε ἀπέργασαι, τὸν σὸν Υἱὸν καὶ Θεὸν, εὐμενῆ καὶ ἵλεων, ἡμῖν τοῖς οἰκέταις σου, ὅν περ ὁσημέραι, πλημμελοῦντες παροργίζομεν.

Ἄλλος. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ἀθρόα Πάτερ συμπίπτουσι, τὰ θαύματα τὰ σὰ τὰ ἐξαίσια. ἅπερ ἑκάστοτε, διενεργεῖς τοῖς προστρέχουσι, διὸ Χριστὸν ὑμνοῦμεν τὸν σὲ δοξάσαντα.

Λεγέτω τοίνυν ὡς ἔτυχεν, ἰάσεως ποδὸς ἄλλο γύναιον· καὶ γὰρ τὸ ἕλκωμα, τοῦτον εἰς βάθος κατήσθιε· σὺ δὲ κληθεὶς χειρί σου ἀπεχειρούργησας.

Δεικνύτω ἄλλος παιδάριον, τὸ πρότερον κυρτὸν καὶ ἀκίνητον, ὡς εἰς τὸ ἅγιον μνῆμα σὺν πίστει ἀνήγαγεν' ἰδοὺ ὀρθὸν βαδίζει πρὸς τὰ μαθήματα.

Θεοτοκίον.

Τὴν θείαν στάμνον καὶ τράπεζαν, τὸν ἄρτον τῆς ζωῆς τὴν βαστάσασαν, τὴν ἀγεώργητον, χώραν, τὸ ὄρος τὸ ἅγιον, τὴν Θεοτόκον Κόρην, ὕμνοις τιμήσωμεν.

Κοντάκιον ἦχ. γ'. Ἡ Παρθένος σήμερον.

Εὐφημεῖ γεραίρουσα, πόλις ἡ Χίος ἐνθέως, τὸν Κορίνθου Πρόεδρον, μεγαλοφώνως βοῶσα· εἵλκυσαν οἱ Ἱεράρχαι, τὸν Ἱεράρχην· μάρτυρες, τὸν πρὸς τοὺς ἄθλους αὐτῶν ἀλείπτην, ἀσκηταὶ δὲ τὸν οἰκεῖον· εὐχαῖς ταῖς τούτου σῶσον ἡμᾶς ὁ Θεός.

Ὁ Οἶκος.

Ἀεὶ μὲν ὀφείλομεν ἡμεῖς οἱ ταπεινοὶ καὶ ἀνάξιοι εὐχαριστεῖν καὶ δοξάζειν τὴν ἀπειράγαθον τοῦ Θεοῦ πρόνοιαν, διὰ τὰς πρὸς ἡμᾶς ἀπείρους αὐτοῦ εὐεργεσίας καὶ χάριτας, μάλιστα δὲ νῦν· διότι ἐν ταῖς πονηραῖς ταύταις ἡμέραις, ἐναντίον τῆς ἐσχάτης καὶ παντόλμου ἀφροσύνης τῶν ἀνθρώπων τῶν κατὰ τῆς θείας Μεγαλειότητος γυμνῇ τῇ Κεφαλῇ ἀντιφερομένων, κήρυκα λαμπρότατον καὶ μεγαλοφωνότατον θαύμασιν ἐξαισίοις, ἀνέδειξε τὸν ὄντως μέγαν τοῦτον Ἱεράρχην, τὸν καὶ κλήσει, καὶ δόξῃ θείᾳ ὄντως Μακάριον· βοῶντα πᾶσι καὶ λέγοντα, ὅτι, ὦ ἄνθρωποι, κρίσις φοβερὰ τῶν βεβιωμένων ἐσχάτη καὶ ἀνταπόδοσις μέλλει ἔρχεσθαι πάντως, καὶ ἕτοιμοι πρὸς ἀπολογίαν γίνεσθε· διὸ καὶ ἡμεῖς τῷ σωτηρίῳ τούτου κηρύγματι πειθόμενοι· παρασκευαζώμεθα ἀμεταμελήτως βοῶντες καὶ λέγοντες, εὐχαῖς ταῖς τούτου σῶσον ἡμᾶς ὁ Θεός.



Τῇ ΙΖ΄ τοῦ αὐτοῦ μηνὸς (Ἀπριλίου) μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Συμεὼν Ἐπισκόπου Περσίδος καὶ τῶν σὺν αὐτῷ μαρτυρησάντων χιλίων ἑκατὸν πεντήκοντα τριῶν.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Μακαρίου Ἀρχιεπισκόπου Κορίνθου τοῦ ἐν τῇ νήσῳ Χίῳ ἀσκήσαντος, καὶ ἐνταῦθα ὁσίως ἐν ἔτει 1805 τελευτήσαντος, καὶ πρὸς Κύριον μεταστάντος.

Κορίνθου γόνος ἠδ' ἅμ' Ἱεράρχης φάντατος, εὖχος,

Χάρμα τε καὶ μέγ' ὄνειαρ ἁπάντεσι πιστοῖς.

Τίς τ' ἄρα οὗτος, ὁ δὶς κλήσει τε καὶ σήμασι θείοις;

Μακάριος Νοτάρων ἀγλαῶν ἀγλαότερος ὄρπυξ.

Ἀπριλοῖο μεσοῦντος πρὸς Θεόν, ὃν πνέε, λῆξεν.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

# ΒΙΟΓΡΑΦΙΑ

ἤτοι ἀληθὴς καὶ ἀκριβὴς περιγραφὴ τῆς ζωῆς καὶ πολιτείας τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Μακαρίου Ἀρχιεπισκόπου Κορίνθου ὑπὸ τοῦ συγχρόνου καὶ αὐτόπτου μάρτυρος τῶν θαυμάτων αὐτοῦ Ἀθανασίου τοῦ Παρίου (*).

Εὐλόγησον Πάτερ!

Πάντοτε μὲν καὶ πανταχοῦ ἐπαινεῖται καὶ θαυμάζεται ἡ θεοφιλὴς καὶ θεάρεστος ἀρετή, ἀλλὰ τὴν σήμερον ὑπάρχει σπανιωτέρα ἢ εἰς τοὺς πρώτους χρόνους τοῦ Χριστιανισμοῦ, ὅτε αἱ μὲν ἔρημοι ἐπλημμύριζον ἐκ θεοφόρων ἀναχωρητῶν, τὰ δὲ μοναστήρια ἦσαν πλήρη ἁγίων ἀσκητῶν καὶ μοναχῶν καὶ αἱ πόλεις αὐταὶ διέλαμπον ὑπὸ τῶν φωστήρων τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας. Διὰ τοῦτο ἐπὶ τοῦ παρόντος αἰῶνος, ἐν ᾧ κατὰ τὴν Γραφὴν «οὐδὲ ῥανὶς ἁγιότητος φαίνεται, ἀλλ' ἐπικρατεῖ κοινὴ διαστροφή, ψεῦδος, δολιότης, ἀνευλάβεια, ἀθεοφοβία καὶ θεοστυγὴς ἀδιαφορία,» ἐὰν εἴς τινα ψυχήν, ὡς εἰς τὸν πόκον τοῦ Γεδεών, ἐγχυθῇ θεία τις δρόσος, τουτέστιν ἐὰν ἡ παντουργὸς τοῦ Πνεύματος χάρις εἰς τὰς πονηρὰς ταύτας ἡμέρας παραδόξως ἀναδείξῃ ἅγιον μοναχόν τινα ἢ ἱερέα ἢ ἐπίσκοπον διὰ σημείων ὑπερφυσικῶν καὶ ἐξαισίων, τοῦτο εὐλόγως προξενεῖ θαυμασμὸν καὶ ἔκπληξιν. Δικαίως λοιπὸν ὁ εὐσεβὴς καὶ φιλόχριστος λαὸς τῆς Χίου, ἥ τε πόλις αὐτῆς καὶ τὰ χωρία, ἄνδρες τε καὶ γυναῖκες,

---

(*) Τὴν βιογραφίαν ταύτην πρὸ ὀγδοήκοντα πέντε ἐτῶν συντεθεῖσαν ὑπὸ τοῦ ἀειμνήστου Ἀρχιδιδασκάλου τῆς ἐν Χίῳ Σχολῆς Ἀθανασίου τοῦ Παρίου κατὰ τὸ τότε ἐν χρήσει ὂν ὕφος μετεσκεύασε νῦν ἐπὶ τὸ ἑλληνικώτερον καὶ καλλιεπέστερον ὁ ἐν αὐτῇ Καθηγητὴς τῶν Ἑλληνικῶν γραμμάτων Κύριος Α. Καράβας, διορθώσας συγχρόνως καὶ τὸ ὀρθογραφικὸν τῆς ἱερᾶς Ἀκολουθίας τοῦ Ἁγίου.



ἱερωμένοι καὶ λαϊκοί, νέοι καὶ γέροντες, ἅπαντες ὁμοθυμαδὸν ἐν ἱερῷ ἐνθουσιασμῷ συναγαλλόμεθα, καὶ δοξάζομεν τὴν ἄπειρον τοῦ Θεοῦ ἀγαθότητα καὶ φιλανθρωπίαν, διότι εἰς τὰς ἡμέρας ταύτας ἀνέδειξεν ἡμῖν νέον ἄλλον πόκον τοῦ Γεδεὼν πλήρη θεϊκῆς δρόσου, τὸν θεῖον Ἱεράρχην τῆς Κορίνθου, τὸν κατ' ἀλήθειαν Μακάριον· ἀλλὰ τί λέγομεν πόκον; πηγὴν μάλιστα νοητήν, πηγὴν ὕδατος ζῶντος, πηγὴν ἀναβλύζουσαν νάματα θείων χαρίτων· καθότι διὰ τῶν ῥείθρων τῶν θαυμάτων αὐτοῦ ὁ Ἅγιος οὗτος δροσίζει τὰς κεκαυμένας ψυχὰς τῶν μετὰ πίστεως καὶ εὐλαβείας, πρὸς αὐτὸν προσερχομένων ἑκάστοτε. Χαῖρε λοιπόν, ὦ καλὴ καὶ περίδοξος Χίος! χαῖρε καὶ ἀγάλλου, διότι ἡ τοῦ Θεοῦ ἀνεξιχνίαστος πρόνοια μετα τόσους αἰῶνας σὲ ἠξίωσε κατέχειν ἐν τοῖς κόλποις σου τὸν μέγαν τοῦτον Ἱεράρχην καὶ θαυματουργὸν Ἅγιον, τὸν ἀξιάγαστον ποιμένα τῆς Κορίνθου, τὸν ἐν μακαρίοις τῷ ὄντι Μακάριον. Ἀληθῶς ξενήκουστόν ἐστι τοῦτο· διότι ποῖος τόπος, ποία ἐπαρχία, ποία πόλις τὴν σήμερον δύναται νὰ καυχηθῇ διὰ τόσον ἐξαίρετον καὶ σπάνιον οὐράνιον χάρισμα, τουτέστιν ὅτι στολίζει αὐτὴν καὶ καθίστησιν ὀνομαστὴν καὶ περίβλεπτον νέος ἅγιος Ἀρχιερεὺς καὶ θαυματουργὸς περιώνυμος; Τῷ ὄντι μέγα πρᾶγμα τοῦτο, παράδοξον ἄκουσμα, ἐπιθυμητὸν διήγημα. Τρισευδαίμων ὑπάρχεις, ὦ Χίος, διότι σὲ προέκρινεν ὁ Θεὸς ἄξιον ταμεῖον τοῦ οὐρανίου τούτου θησαυροῦ, τοῦ ἐνδόξου καὶ ἁγίου Ἱεράρχου Μακαρίου, οὗ τὸν πανόσιον βίον καὶ τὴν πολιτείαν συνεγράψαμεν, καθ' ὅσον ἠδυνήθημεν, ὅπως ἴδωσι καὶ βεβαιωθῶσιν ἅπαντες, ὅτι ὁ ἀπροσωπόληπτος Θεὸς διὰ λαμπρῶν σημείων ἁγιότητος καὶ ἐξαισίων θαυμάτων ἀείποτε δοξάζει τοὺς αὐτὸν ἀντιδοξάζοντας. Ἐπικαλούμενοι δὲ τὰς ἁγίας και θεοπειθεῖς αὐτοῦ εὐχὰς ἀρχόμεθα, ὅθεν ἄρχεσθαι πρέπον ἐστὶ καὶ σύνηθες.

Ἡ Κόρινθος, πόλις τῆς Πελοποννήσου, κειμένη ἐπὶ τοῦ ὁμωνύμου ἰσθμοῦ, ὅστις χυδαϊστὶ ὀνομάζεται Ἑξαμίλιον, ὑπάρχει ὀνομαστὴ καὶ ἀρχαιοτάτη. Πασίγνωστον δὲ ὅτι ἔγραψε πρὸς αὐτὴν δύο θεοσόφους ἐπιστολὰς ὁ Ἀπόστολος Παῦλος, ὅστις ἐδίδαξε τοὺς Κορινθίους, καὶ ἐκ τῆς πλάνης τῆς εἰδωλομανίας εἰς τὴν γνῶσιν τοῦ ἑνὸς καὶ μόνου ἀληθινοῦ

Θεοῦ αὐτοὺς ἐπέστρεψεν. Ἐκ ταύτης τῆς πόλεως κατάγεται, καὶ ταύτης γέννημα καὶ θρέμμα ὑπῆρξεν ὁ θεῖος καὶ ἅγιος Μακάριος, ὅστις καὶ προγόνους ἔσχεν εὐγενεῖς ἐξ εὐγενῶν, τῶν περιφήμων Νοταράδων· γένος τοῦτο ἀρχαῖον καὶ λαμπρὸν, καταγόμενον ἐκ τῆς συγκλήτου Βουλῆς τῆς ποτὲ βασιλείας τῶν Ῥωμαίων. Ἐκ τοῦ ἰδίου δὲ τούτου γένους κατάγεται καὶ ὁ ἐν Κεφαλληνίᾳ δι᾽ἁγιότητα ἐξάκουστος ὁσιώτατος Γεράσιμος, δόξα καὶ οὗτος ἐπίσης καὶ καύχημα οὐ μόνον τῶν Νοταράδων, ἀλλὰ καὶ πάντων τῶν Ὀρθοδόξων Χριστιανῶν, ὅστις διέλαμψε καὶ εἰσέτι διαλάμπει διὰ τῶν ἀπείρων αὐτοῦ θαυμάτων. Γεννήτορας δ᾽ἔσχεν ὁ Ἅγιος θεοσεβεστάτους καὶ σεμνοτάτους, Γεώργιον καὶ Ἀναστασίαν καλουμένους, οἵτινες καὶ κατὰ τὸ γένος καὶ κατὰ τὸν πλοῦτον ἐπρότευον τῶν Κορινθίων. Ἐκ τούτων λοιπὸν ἐγεννήθη ὁ θεῖος οὗτος πατὴρ κατόπιν ἑτέρων υἱῶν καὶ θυγατέρων κατὰ τὸ 1731 ἀπὸ Χριστοῦ ἔτος. Ὠνόμασε δὲ αὐτὸν Μιχαὴλ ὁ τότε Πρόεδρος Κορίνθου Παρθένιος, ἀναδεξάμενος αὐτὸν ἐκ τοῦ ἁγίου βαπτίσματος, καὶ τρόπον τινὰ προϊδὼν ὅτι ὁ πνευματικὸς οὗτος υἱὸς αὐτοῦ ἔμελλεν ἵνα γένηται καὶ κληρονόμος, ἤτοι διάδοχος τῆς πνευματικῆς αὐτοῦ ἀξίας. Φθάσας λοιπὸν εἰς ἡλικίαν ἐδιδάχθη τὰ ἱερὰ γράμματα καὶ τὴν ἑλληνικὴν παιδείαν παρὰ τοῦ ἐν Κεφαλληνίᾳ τότε ἀκμάζοντος Εὐσταθίου, καὶ εὐθὺς ἀπὸ τὰς πρώτας ἀρχὰς τῆς νεότητος αὐτοῦ ἤρξατο ἐνδεικνύων ὅτι οὐδεμίαν εἶχε κλίσιν εἰς τὰ τοῦ κόσμου πράγματα, ἀλλ᾽εἰς μόνα τὰ πνευματικά· διότι διετέλει ζῶν μετὰ μεγίστης σεμνότητος, συντρέχων εἰς τὰς ἱερὰς ἀκολουθίας καὶ ἀποστρεφόμενος τὰς τῶν νέων συναναστροφὰς καὶ τὴν κοσμικὴν ματαιότητα. Ἐπειδὴ δὲ ὁ πατὴρ αὐτοῦ ἴσχυεν εἰς τὰ πολιτικὰ, κατέστησεν αὐτὸν ἐπιστάτην εἴς τινα χωρία, ὅπως ἐντεῦθεν συναθροίσῃ χρήματα πολλὰ καὶ θησαυρίσῃ· ἀλλ᾽ ἐπειδὴ διένεμεν οὐκ ὀλίγα εἰς ἐνδεεῖς καὶ ἀπόρους, πολλάκις ὑπὸ τοῦ πατρὸς ἐπεπλήττετο, καὶ τελευταῖον ἀπεφάσισεν ἵνα ὁλοτελῶς ἀπομακρυνθῇ τῶν κοσμικῶν πραγμάτων, καὶ γένηται μοναχός· ὅθεν κατέφυγε κρυφίως εἰς τὸ Μέγα Σπήλαιον, περίφημον μοναστήριον ἐν τῇ Πελοποννήσῳ ὡς κεκτημένον τὴν τῆς Θεοτόκου εἰκόνα τὴν ὑπὸ τοῦ Ἀπο-

ΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣ



στόλου Λουκᾶ ζωγραφηθεῖσαν, ἔνθα μετὰ θερμῶν παρακλήσεων ἐξητήσατο τὸ ποθούμενον, ἀλλὰ οἱ ἐκεῖσε πατέρες ἀπεποιήθησαν τὴν πρότασιν αὐτοῦ ὡς γενομένην ἄνευ τῆς ἀδείας τοῦ πατρὸς, οὗ τινος ἐφοβοῦντο τὴν ἐπιῤῥοὴν καὶ δύναμιν. Καὶ ὄντως ὁ πατὴρ αὐτοῦ μαθὼν μετ᾽ ὀλίγας ἡμέρας ὅτι εὑρίσκετο ἐκεῖ ἐμήνυσεν ἵνα ἐξαποστείλωσιν αὐτὸν οἴκαδε καὶ μὴ θέλοντα. Ὅθεν ἐπανελθὼν εἰς τὴν πατρικὴν οἰκίαν ἐνησχολεῖτο εἰς τὴν ἀνάγνωσιν καὶ μελέτην τῶν θείων Γραφῶν καὶ ἄλλων διδακτικῶν καὶ ὠφελίμων βιβλίων. Ἀκολούθως διὰ τὴν ἔλλειψιν διδασκάλου τῆς ἐν Κορίνθῳ σχολῆς ἑκουσίᾳ βουλῇ καὶ ἀγαθῇ προαιρέσει ἐδίδαξεν αὐτὸς ἐπὶ ἓξ ἔτη ἀμισθὶ τὰ τέκνα τῆς ἑαυτοῦ πατρίδος. Τελευτήσαντος δὲ τοῦ τότε Ἱεράρχου Προέδρου Κορίνθου εἰς λίαν προβεβηκυῖαν ἡλικίαν ὄντος ἐν ἔτει 1764, ἅπαντες οἱ κάτοικοι τῆς Κορινθιακῆς ἐπαρχίας ἱερωμένοι καὶ λαϊκοὶ, πλούσιοι καὶ πτωχοί, μικροὶ καὶ μεγάλοι παμψηφεὶ καὶ ὁμοθυμαδὸν ἐξελέξαντο καὶ προέκριναν διάδοχον αὐτοῦ εἰς τὸν Ἀρχιερατικὸν θρόνον τὸν ἐνάρετον Μακάριον. Οὕτω λοιπὸν ἐφοδιασθεὶς διὰ τῶν ἀπαιτουμένων συστατικῶν ἐπιστολῶν μετέβη μετά τινων ἐγκρίτων εἰς Κωνσταντινούπολιν, ἔνθα ἐπαρουσιάσθη πρὸς τὴν ἱερὰν Σύνοδον, πατριαρχεύοντος τότε Σαμουὴλ Α΄. τοῦ Χατζερῆ, καὶ λαβὼν τὸ τῆς Ἀρχιερωσύνης ἀξίωμα ἐχειροτονήθη Πρόεδρος Κορίνθου. Ἐπανελθὼν δὲ εἰς ταύτην τὴν θεόθεν λαχοῦσαν αὐτῷ Ἐπαρχίαν, ἔγνω πόσον ἦτο ἀγαπητὸς καὶ παμπόνητος· διότι την τῆς ἐπανόδου αὐτοῦ ἡμέραν ἑώρτασαν ἅπαντες οἱ ἐν αὐτῇ χριστεπώνυμοι λαοὶ χαίροντες καὶ ἀγαλλόμενοι, καὶ δοξάζοντες τὸν Θεὸν, διότι εἰσήκουσε τῶν δεήσεων αὐτῶν, καὶ τοιούτου καλοῦ Ποιμένος αὐτοὺς ἠξίωσε. Καὶ τῷ ὄντι οὐδόλως ἐψεύσθησαν εἰς τὰς χρηστὰς αὐτῶν ἐλπίδας· διότι ὡς ἐκ πρώτης αὐτοῦ ἡλικίας ὁ ἅγιος Μακάριος ἐδείκνυε μεγάλης ψυχῆς σημεῖα καὶ ζῆλον περὶ τὰ καλὰ, οὕτω καὶ Ἀρχιερεὺς γενόμενος ἐπεβαίωσεν ὅλα ταῦτα ἐμπράκτως, στοχαζόμενος μετὰ τοῦ Θεολόγου Γρηγορίου ὅτι ἔ λ α β ε τ ὴ ν Ἀ ρ χ ι ε ρ ω σ ύ ν η ν ο ὐ χ ὶ ὡ ς ἐ ξ ο υ σ ί α ν ἀ ν ε ξ έ τ α σ τ ο ν, καὶ μέσον ἀπολαυῆς ἡδονῶν καὶ ἀποκτήσεως πλούτου, ἀλλ᾽ ὡς ἐπιστασίαν καὶ πατρι-

κὴν πρόνοιαν καὶ φροντίδα περὶ τῆς ἀσφαλείας καὶ σωτηρίας τοῦ λογικοῦ αὐτοῦ ποιμνίου, περὶ οὗ δώσει λόγον τῷ Ἀρχιποίμενι καὶ Κυρίῳ καὶ Θεῷ τῶν ἁπάντων. Οὕτω λοιπὸν διανοούμενος ἤρξατο εὐθὺς ὡς πιστὸς καὶ φρόνιμος οἰκονόμος διαδιδοὺς τὴν τοῦ θείου λόγου τροφὴν ταῖς ἀπὸ πολλοῦ χρόνου στερουμέναις αὐτῆς καὶ πεινώσαις ψυχαῖς μετὰ μεγίστης χρηστότητος καὶ ταπεινώσεως διδάσκων ἐν ταῖς ἱεραῖς ἐκκλησίαις. Ἐπειδὴ δὲ εἴτε ἐξ ἀμελείας εἴτε ἐξ ἀπαιδευσίας τῶν προκατόχων αὐτοῦ Ποιμένων εὗρε τὴν Ἐπαρχίαν πλήρη ἀταξειῶν καὶ ἀτοπημάτων καὶ τὴν ἐκκλησίαν ἐξηχρειωμένην, σπουδὴν καὶ ἐπιμέλειαν μεγάλην ἐποιήσατο ὡς ἄλλος Ζοροβάβελ, ἵνα ἀνακαινίσῃ αὐτὴν καὶἐπὶ τὸ κρεῖττον ἀναμορφώσῃ, ἀπαλλάξας αὐτὴν παντὸς εἴδους ῥυπαρίας καὶ αἰσχρότητος. Πρῶτον μὲν λοιπὸν τοὺς παντάπασινἀγραμμάτους ἱερεῖς ὅλους ἔπαυσε τῶν τῆς ἱερωσύνης ἔργων, ὡς καὶ τοὺς μηκέτι δυναμένους ἱερατεύειν ἕνεκα τῆς λίαν προβεβηκυίας αὐτῶν ἡλικίας· ἔπειτα ἀπηγόρευσεν ἐν βάρει τελείας ἀργίας πᾶσι τοῖς ἱερωμένοις τὸ ἀναμιγνύεσθαι εἰς τὰ πολιτικά, ὡς συνειθίζετο τότε ἡ ἐπάρατος αὕτη ἀταξία εἰς πολλοὺς τόπους, ἔνθα οἱ αὐτοὶ ἦσαν καὶ ἱερεῖς καὶ κοτζαμπάσιδες. Τοὺς δὲ ἱερεῖς ἐχειροτόνει εὐσυνειδήτως διατηρῶν ὅσον ἐδύνατο τὴν ἀκρίβειαν τῶν τε ἀποστολικῶν καὶ τῶν συνοδικῶν κανόνων, οὐδέποτε δὲ ἐπὶ χρήμασι πωλῶν τὴν ἱερωσύνην οὔτε ἄλλο τι πνευματικὸν λειτούργημα, ἀλλ' ὡς χάριν τοῦ Πνεύματος χάρισμα καὶ δωρεὰν τοῖς ἀξίοις ἐδίδου καὶ ἀπένεμε. Πρὸς δὲ τούτοις οὐδένα ἐχειροτόνει παρ' ἡλικίαν, καί τοι εἶχε χρείαν ἱερέων, καθὸ παύσας οὐκ ὀλίγους τῆς ἱεροπραξίας, ὡς ἀνωτέρω εἴρηται. Ἐξετάζων δὲ πρῶτον τοὺς ἐπιθυμοῦντας καὶ ὀρεγομένους τῆς ἱερωσύνης, ὅσους εὕρισκεν ἀνικάνους, ἔπεμπεν εἰς μοναστήρια, διατάσσων ἵνα ἐκπαιδευθῶσι καὶ τελειοποιηθῶσιν ἐκεῖσε ἐξοδεύοντες ὅσα χρήματα ὤφειλον ἄλλοτε ἵνα πληρώσωσι διὰ τὴν χειροτονίαν. Προσέτι τὸν χειροτονηθέντα διάκονον, πρὶν ἢ προχειρίσηται ἱερέα, ἔχων παρ' ἑαυτῷ ἐγύμναζεν, ὁσάκις ἐλειτούργει, εἰς τὰς τῶν μυστηρίων τελετάς, καὶ εἰς ὅλους τοὺς ἱερωμένους ἐδωρήσατο ἱερὰς κατηχήσεις, ὅπως μελετῶντες διδαχθῶσιν ἐξ αὐτῶν τὰ τῆς



Πίστεως καὶ εἰς ἁπάσας τὰς κωμοπόλεις καὶ χωρία τῆς ἐπαρχίας αὐτοῦ διένειμε κολυμβήθρας εὐρυχώρους, ἵνα γίνηται τὸ ἅγιον βάπτισμα τέλειον, καθὼς διδάσκει ἡ ἁγία ἡμῶν Ἀνατολικὴ Ἐκκλησία. Ταῦτα καὶ ἄλλα τοιαῦτα ψυχωφελῆ καὶ σωτήρια ἔπραττε καὶ ἐδίδασκεν ὁ Ἅγιος οὗτος Ἱεράρχης ὅστις καὶ καθ' ὅλην τὴν Ἐπαρχίαν αὐτοῦ ἀπεφάσισεν ἵνα συστήσῃ σχολεῖα, ποιμαίνων οὕτω πατρικῶς καὶ θεοφιλῶς τὸ λογικὸν αὐτοῦ ποίμνιον. Ἀλλ' ἐπειδὴ κατὰ τὸ 1768 ἔτος ἐκηρύχθη πόλεμος μεταξὺ Ῥώσσων καὶ Ὀθωμανῶν ἐπὶ τῆς βασιλείας τοῦ σουλτάνου Μουσταφᾶ, καὶ ῥωσσικὸς στόλος ἐνεφανίσθη εἰς τὴν Πελοπόννησον, ὁ πατὴρ τοῦ Ἁγίου φοβούμενος καὶ προβλέπων δεινὰ ἐπακόλουθα, παρέλαβεν αὐτόν τε καὶ ἅπασαν τὴν οἰκογένειαν μεθ' ὅσης περιουσίας ἠδυνήθη, καὶ ἀνεχώρησε διευθυνόμενου εἰς Ζάκυνθον. Καθ' ὁδὸν δὲ περιέπεσον εἰς χεῖρας λῃστῶν, οἵτινες ἐξεγύμνωσαν αὐτοὺς μηδένα φονεύσαντες. Οὕτω λοιπὸν γυμνοὶ καὶ ἄποροι μετὰ πολλοὺς κόπους ἠδυνήθησαν ἵνα καταφύγωσιν εἰς ἣν διηυθύνοντο νῆσον. Οἱ δὲ Ζακύνθιοι ὑπεδέξαντο αὐτοὺς συμπαθῶς καὶ φιλανθρώπως, καὶ παρέσχον αὐτοῖς ἐν ἀφθονίᾳ τροφὰς καὶ ἐνδύματα, καὶ ἐξαιρέτως τὸν ἱερὸν Μακάριον· ὃν ἐτίμων μετὰ σεβασμοῦ ὡς ἄλλον Χριστοῦ Ἀπόστολον. Ἀκολούθως οὗτος μετέβη εἰς Κεφαλληνίαν, ὅπως ἀσπασθῇ τὸ ἐκεῖσε ἅγιον λείψανον τοῦ ὁσίου Γερασίμου καὶ μετά τινας μῆνας ἐπανῆλθεν εἰς Ζάκυνθον, ἔνθα διέτριψε τρία ἔτη. Μετὰ ταῦτα μετεβη εἰς Ὕδραν, καὶ διέμεινεν ἐν τῇ ἐκεῖσε μονῇ τῆς Θεοτόκου, ἕως οὗ ἐγένετο εἰρήνη μεταξὺ τῶν Ὀθωμανῶν καὶ τῶν Ῥώσσων. Καί τοι δὴ τῆς νήσου ταύτης ἀνηκούσης τῇ Ὀθωμανικῇ Αὐτοκρατορίᾳ, ἡ ἐν Κωνσταντινουπόλει ἱερὰ Σύνοδος ἐχειροτόνησεν ἕτερον Ἀρχιεπίσκοπον Κορίνθου, τῷ δὲ ἱερῷ Μακαρίῳ, πρὸς μετρίασιν τῆς ἐντεῦθεν προκυψάσης λύπης αὐτοῦ καὶ θλίψεως, ἐπέτρεψε τὸ ἐπιτελεῖν ἀκωλύτως τὰ τῆς Ἀρχιερωσύνης, ὅπου ἂν διατρίβῃ. Μετὰ ἓν ἔτος ἐλθὼν εἰς Χίον, καὶ διαμείνας ὀλίγον καιρὸν ἐνταῦθα, μετέβη εἰς τὸν Ἄθω, ἤτοι εἰς τὸ Ἅγιον Ὄρος, καθ' ἣν ἀπὸ πολλοῦ διέτρεφεν ἐπιθυμίαν. Τὸ καταφύγιον ὅμως τοῦτο οὐδόλως εὗρε λιμένα σωτηρίας γαλήνιον, ὡς ἤλπιζεν, ἀλλὰ

τοὐναντίον πέλαγος ἀταξίας. Καὶ πρῶτον μὲν οἱ κατὰ τὴν Κυριακὴν ἐκεῖσε νεκρολογοῦντες ἠρώτησαν αὐτὸν, ἐὰν παραδέχηται μνημόσυνα τελούμενα τὴν ἡμέραν ταύτην· ὁ δὲ ἱερὸς Μακάριος ἀπεκρίνατο αὐτοῖς ἀποφατικῶς. Ἔπειτα τοῦ πρώην Ἀλεξανδρείας Ματθαίου ἀποβιώσαντος ἐν τῇ μονῇ τοῦ Κουτλουμουσίου προσκληθεὶς εἰς τὸ μετὰ τεσσαράκοντα ἡμέρας μνημόσυνον αὐτοῦ ὅπως ἱερουργήσῃ ἐν ἡμέρᾳ Κυριακῇ, οὐ μόνον ἀπεποιήθη τοῦτο, ἀλλὰ καὶ πρὸς τοὺς προσκαλέσαντας αὐτὸν ἐπιτρόπους τοῦ μακαρίτου ἔγραψε τάδε. «Διά τί προτιμᾶτε τὴν τελετὴν τοῦ μνημοσύνου ἐν Κυριακῇ, παρατρέχοντες τὰς λοιπὰς ἡμέρας τῆς ἑβδομάδος, καὶ παραβαίνοντες τοὺς ἀπαγορεύοντας τοῦτο ὁρισμοὺς καὶ τυπικὰ τῆς Ἐκκλησίας; ἐγὼ οὐδέποτε ἐτέλεσα κατὰ τὴν Κυριακὴν οὐδὲ τελέσω μνημόσυνον κεκοιμημένων». Ἐκεῖνοι δὲ ἠπείλησαν αὐτὸν, καὶ τὸ ἰδιόχειρον αὐτοῦ γράμμα περὶ τοῦ μνημοσύνου ἔπεμψαν πρὸς τὸν Οἰκουμενικὸν Πατριάρχην. Δυσαρεστηθεὶς λοιπὸν ἀνεχώρησεν ἐκεῖθεν, καὶ ἐπανῆλθεν εἰς τὴν Χίον, ὅθεν μετέβη εἰς Πάτμον, ἔνθα ἐγνωρίσθη καὶ ἐσχετίσθη μετὰ τῶν ὁσιωτάτων πατέρων, τοῦ ἱερομονάχου Νήφωνος τοῦ χίου, Γρηγορίου τοῦ νισυρίου καὶ τοῦ ἐξ Ἀρμενίας Ἀθανασίου, οἵτινες πρό τινων ἐτῶν ὡσαύτως ἀνεχώρησαν ἀπὸ τοῦ Ἁγίου Ὄρους διὰ τὰς ἐκεῖσε περὶ κολύβων ταραχὰς καὶ σκάνδαλα. Μετὰ ἓν ἔτος, ἀποβιώσαντος τοῦ πατρὸς αὐτοῦ, μετέβη ἐκ νέου εἰς Ὕδραν κατὰ πρόσκλησιν τῶν ἀδελφῶν αὐτοῦ, μεθ' ὧν ἀπῆλθεν εἰς τὴν πατρίδα Κόρινθον, ἔνθα διεμερίσαντο τὴν πατρογονικὴν περιουσίαν ἡσύχως καὶ ἀταράχως διὰ τῆς ἐπιστασίας τοῦ ἰδίου, δ ω ρ η σ α μ έ ν ο υ αὐτοῖς τὸ ἐπιβάλλον μέρος τῆς κληρονομίας. Παρεκτὸς δὲ τούτου ζητήσας καὶ λαβὼν ὅλα τὰ πατρικὰ χρεωστικὰ ὁμόλογα ἔρριψεν εἰς τὸ πῦρ καὶ κατέκαυσε, καὶ οὕτως ἀπήλλαξε πολλοὺς τοῦ χρηματικοῦ αὐτῶν χρέους, εὐλογούμενος ὑπ' αὐτῶν πανοικίων καὶ μακαριζόμενος ὁ φιλάνθρωπος Μακάριος. Μετὰ ταῦτα ἐπανελθὼν εἰς Χίον, καὶ διὰ συστατικῶν γραμμάτων ἐφοδιασθεὶς μετέβη εἰς Σμύρνην πρὸς τὸν ἐκεῖ κατοικοῦντα Ἰωάννη Μαυρογορδάτον, ὅστις ἐκ φήμης γνωρίζων αὐτὸν ὑπεδέξατο μετ' εὐλαβείας καὶ σεβασμοῦ ὡς τοῦ Θεοῦ



ἄνθρωπον, καὶ οὐ μόνον ἐν τῷ ἑαυτοῦ οἴκῳ εὐχαρίστως καὶ προθύμως αὐτὸν περιεποιεῖτο, ἀλλὰ καὶ συνήργησε καὶ ἐξετέλεσε τὴν διὰ τοῦ τύπου ἔκδοσιν τῆς Ἱ ε ρ ᾶ ς Φ ι λ ο κ α λ ί α ς τ ῶ ν Π α τ έ ρ ω ν, ὅπερ ἐστὶ βιβλίον ψυχωφελέστατον, καθὼς καὶ ἡ διὰ τοῦ ἰδίου ἐκδοθεῖσα Ἱ ε ρ ὰ Κ α τ ή χ η σ ι ς τ ο ῦ τ ῆ ς Μ ό σ χ α ς Π λ ά τ ω ν ο ς. Ταῖς δὲ διδασκαλίαις τοῦ θείου τούτου Πατρὸς καὶ τὴν ἑαυτοῦ οἰκίαν μετεσκεύασεν εἰςόσιακὸν σύστημα διὰ τῶν ἱερῶν ἀκολουθιῶν, τῶν ἑσπερινῶν καὶ τῶν ὄρθρων, καὶ διὰ τῆς ἀκριβοῦς τηρήσεως τῶν παραδεδομένων νηστειῶν· μάρτυρες δὲ τούτου οἱ Σμυρναῖοι ἅπαντες. Ἐπειδὴ δὲ ὁ ἱερὸς Μακάριος πολὺ ἐπεθύμει ἵνα δημοσιεύσῃ διὰ τοῦ τύπου καὶ τὸν προσφιλῆ αὐτῷ Εὐεργετικόν, εὑρέθη καὶ εἰς τὴν ἔκδοσιν τοῦ ψυχωφελοῦς τούτου βιβλίου πρόθυμος Ἰωάννης ὁ Καννᾶς. Μετὰ ταῦτα ὁ θεῖος Πατὴρ ἐπανῆλθεν εἰς Χίον καὶ εὗρεν ἡσυχαστήριον, ὅπως διανύσῃ ἐν αὐτῷ τὸν ἀσκητικὸν αὐτοῦ βίον, τὸν Ἅγιον Πέτρον κείμενον εἰς τὸ βόρειον μέρος τῆς νήσου. Τὸν τόπον τοῦτον ἠγόρασε παρὰ τῆς κοινότητος τῆς Χίου ἵνα ἐξουσιάζῃ διαδοχικῶς εἰς τρία πρόσωπα, καὶ ἐν αὐτῷ ἡσύχασεν ἔχων ἕνα ὑποτακτικὸν χῖον, Ἰάκωβον καλούμενον καὶ προβεβηκότα τὴν ἡλικίαν, ὅστις καὶ παρέμεινεν αὐτῷ ὑπηρετῶν μέχρι τῆς ἁγίας αὐτοῦ τελευτῆς. Κατ' ἐκείνας δὲ τὰς ἡμέρας καὶ ὁ εἰρημένος ἱερομόναχος Νήφων ὁ χῖος μετέβη μετά τινων συναδέλφων εἰς Ἰκαρίαν, ἔνθα ἐπεχείρησαν ἵνα οἰκοδομήσωσι μοναστήριον, ὅπως ἀσκήσωσιν αὐτόθι· ἀλλὰ στερουμένοις χρημάτων ἐβοήθησεν αὐτοῖς ὁ ἱερὸς Μακάριος διὰ συνεισφορᾶς τῶν φιλελεημόνων Χίων καὶ Σμυρναίων, καὶ διὰ τῆς συνεργείας αὐτοῦ ἀνιδρύθη ἐν τῇ νήσῳ ἐκείνῃ ἐντελὲς κοινοβιακὸν μονήδριον, εἰς ὃ καὶ ὁ ἴδιος μεταβὰς κατῴκησεν ἐπί τινα καιρόν, ἵνα ἴδῃ ἐκ τοῦ σύνεγγυς τοὺς ἐν αὐτῷ μονάζοντας φίλους αὐτοῦ ὁσιωτάτους Πατέρας. Ἀκολούθως ἐπανῆλθεν εἰς τὸ ἐν Χίῳ ἡσυχαστήριον αὐτοῦ, ὅπερ ἐστὶν εὐάερον καὶ ὑγιεινόν, καὶ πολὺ ὠφέλησεν αὐτὸν ὄντα ἐπινόσου κράσεως καὶ συνεχῶς πρότερον πάσχοντα καὶ ἀσθενῶς διακείμενον. Ἐν αὐτῷ λοιπὸν διῆγεν ἀπολαύων ὑγείας τε καὶ ἡσυχίας, καὶ ἀπομεμακρυσμένος τῆς τύρβης καὶ τοῦ θορύβου τῶν πόλεων

Εὐεργετινοῦ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ

καὶ τῶν κοσμικῶν ματαιοτήτων. Διότι, ὡς εἶπεν ἀρχαῖός τις πατήρ, «Οἱ ἅγιοι τοῦ Θεοῦ ἄνθρωποι, φοβούμενοι τὴν ἐκ τῆς κενοδοξίας καὶ τῆς ἐπάρσεως ζημίαν, σπουδάζουσιν ἵνα κρύπτωσι παντοιοτρόπως τὰς ἑαυτῶν ἀρετὰς ἀπὸ τῶν ὀφθαλμῶν τῶν ἀνθρώπων· ὅθεν καὶ ἐκεῖνα μόνον ἐκ τῶν κατορθωμάτων αὐτῶν δυνάμεθα ἵνα γνωρίζωμεν, ὅσα ἢ ὁ Θεὸς πρὸς ὠφέλειαν τῶν πολλῶν ἐφανέρωσεν, ἢ παρὰ τῶν ὑποτακτικῶν αὐτῶν ἀκολούθως ἐγνωστοποιήθησαν. Ἡ γνώμη αὕτη ἐστὶν ἀληθεστάτη, καὶ τοῦτο λέγομεν καὶ ἡμεῖς περὶ τοῦ ἁγίου τούτου Πατρὸς, ὅτι τοὺς κατ' ἰδίαν ἀγῶνας καὶ ἀσκήσεις αὐτοῦ μόνος ὁ πανταχοῦ παρὼν Θεὸς ἔβλεπε καὶ ἐγίνωσκε· διότι, ὅπως ἀρέσῃ αὐτῷ καὶ μόνῳ ὁ ἱερὸς Μακάριος, ὅσα ἔπραττεν ἐσπούδαζεν ἵνα κρύπτῃ αὐτὰ πλειότερον ἢ ὅσον οἱ κακοὶ προσπαθοῦσιν ἵνα κρύψωσι τὰ ἑαυτῶν κακουργήματα. Ὅθεν γεγράφαμεν περὶ αὐτοῦ ὅσα ἢ πλεῖστοι ἔμαθον θετικῶς πληροφορηθέντες, ἢ ἅπαντες οἱ σύγχρονοι γνωρίζουσι, δηλαδὴ τὰς συνεχεῖς καὶ ἐπιτεταμένας νηστείας, ἐκτὸς τῶν κανονικῶν, ἃς διετήρει τόσον ἀκριβῶς, ὅσον τὰ τῆς Πίστεως δόγματα, οὐδόλως ἀμφιβάλλων ὅτι οἱ ἱεροὶ κανόνες οὐκ ἦσαν ἁπλῶς ἀνθρώπων ἀλλὰ τοῦ ἁγίου Πνεύματος ἀπόφασις, κατὰ τὴν ἀψευδεστάτην μαρτυρίαν τοῦ πρωτοκορυφαίου τῶν Ἀποστόλων Πέτρου, καὶ προσέτι ἀκούων τὸ Ἅγιον Πνεῦμα λέγον ἐν ταῖς Παροιμίαις, «Μὴ μέταιρε νηστείας», οὗ τὸ ἐναντίον ἐν ἀδιαφορίᾳ καὶ περιφρονήσει πράττουσι πολλοὶ τῶν σημερινῶν Χριστιανῶν, οἵτινες τοὺς ἱεροὺς κανόνας νομίζοντες ὡς κοινῶν ἀνθρώπων ἐντάλματα ἀσυστόλως παραβαίνουσιν αὐτοὺς ἰχθυοφαγοῦντες καὶ κρεωφαγοῦντες, καὶ λέγοντες ὅτι οὐδαμοῦ διατάσσει ὁ Θεὸς τὴν νηστείαν· ἐν ᾧ ἀναντιῤῥήτως ὁ Θεὸς ἐστι τὸ Πνεῦμα τὸ Ἅγιον, οὗ τῇ ἐπιστασίᾳ καὶ ἐμπνεύσει ἐγράφησαν οἱ κανόνες οὗτοι. Ἀλλ' οὐδόλως πρόκειται ἐνταῦθα (ἵνα ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν) περὶ τῶν κανονικῶν νηστειῶν, διότι ταύτας ἕκαστος Χριστιανὸς ὀφείλει ἵνα φυλάττῃ, ἀλλὰ περὶ ἐκείνων, ἃς ὁ ἴδιος κανονίζων ἐπέβαλλεν ἑαυτῷ, δύο μεγάλους πολεμίους στοχαζόμενος, τὸν οἶνον καὶ τὸ ἔλαιον, καὶ λέγων ὅτι ἀμφότερα ἦσαν ἐπιβλαβῆ εἰς τὴν ὑγείαν αὐτοῦ, ἐγεύετο αὐτῶν μόνον κατὰ πᾶν Σάββατον καὶ Κυ-



ριακήν, τὰς δὲ λοιπὰς ἡμέρας ἔτρωγε χόρτα καὶ ζυμαρικὰ νερόβραστα. Περὶ δὲ τῶν νηστειῶν, τῶν ἀγρυπνιῶν, τῶν ἀδιαλείπτων προσευχῶν καὶ γονυκλισιῶν τοῦ Ἁγίου τούτου Πατρὸς ἐβεβαιώθημεν θετικώτατα, πληροφορηθέντες καὶ παρ' ἄλλων πολλῶν καὶ ἰδίως παρὰ τοῦ ὑποτακτικοῦ αὐτοῦ Ἰακώβου, καὶ οὐδεὶς δύναται ἵν' ἀμφιβάλλῃ ὅτι διὰ τῶν ὑπερβολικῶν τούτων ἀγώνων καὶ ἀσκήσεων καθίστατο θεοειδὴς καὶ ὑπὸ θείου ἔρωτος ἀνεφλέγετο· ἀπόδειξις δὲ τὰ δι' αὐτοῦ τὴν σήμερον τελούμενα ἐξαίσια ἔργα τῆς θείας χάριτος. Τὰ ἀφανῆ λοιπὸν ἐκεῖνα καὶ τοῖς πολλοῖς ἄδηλα ἐκ τῶν φανερῶν τούτων καὶ πασιγγνώστων συμπεραίνονται καὶ βεβαιοῦνται. διότι κατὰ τὸν μέγαν πατέραν Ἰσαὰκ «Ἀδύνατον τοὺς ἐν τῇ »διαγωγῇ ταύτῃ διὰ παντὸς πολιτευομένους ἄνευ χαρισμά»των μεγάλων παρὰ Θεοῦ ἀφεθῆναι, διὰ τὴν νῆψιν αὐτῶν καὶ »ἐγρήγορσιν τῆς καρδίας καὶ διὰ τὴν ἀμέριμνον διαγωγὴν »τῶν λογισμῶν αὐτῶν. Πρὸς Θεὸν ψυχὴν ἡ ἐν τῇ διαγωγῇ »ταύτης τῆς ἀγρυπνίας κοπιῶσα καὶ διεπρέπουσα ὀφθαλ»μοὺς χερουβικοὺς ἕξει τοῦ διὰ παντὸς ἀτενίζειν καὶ κατο»πτεύειν τὴν ἐπουράνιον θεωρίαν». Ὅθεν κατὰ τὸν θεῖον τοῦτον διδάσκαλον ὁ ἱερὸς Μακάριος ἐκ τῶν θείων χαρισμάτων ἀνεδείχθη οὐρανόφρων, καὶ ἐκ τῶν θεοτερπῶν ἀγρυπνιῶν αὐτοῦ ἀγγελομίμητος. Ἐπειδὴ δὲ ἡ προσευχὴ κατὰ τοὺς θείους Πατέρας ὑπάρχει συνομιλία μετὰ τοῦ Θεοῦ, ὅσοι ἠκούσαμεν τὸν ἱερὸν Μακάριον ἐπ' ἐκκλησίας ἀναγινώσκοντα Ψαλμοὺς καὶ ἄλλα μέρη τῆς Ἁγίας Γραφῆς, ἅπαντες συνομολογοῦμεν, ὅτι ἡ ἀνάγνωσις ἐκείνη ἦτο τῷ ὄντι συνδιάλεξις μετὰ τοῦ Θεοῦ, καὶ ὡς ἀτάραχος, ἥσυχος καὶ γαλήνιος ἔφθανεν ἀναμφιβόλως εἰς τὰ ὦτα Κυρίου Σαβαώθ. Ἐὰν δὲ συνομολογῶμεν τοῦτο περὶ τῆς κοινῆς καὶ ἐπ' ἐκκλησίας ἀναγνώσεως καὶ προσευχῆς αὐτοῦ, πολὺ περισσότερον πρέπει ἵνα ἐννοηθῇ περὶ τῆς κατ' ἰδίαν, τῆς μυστικωτέρας, ἀμιγοῦς καὶ κεχωρισμένης ἀπὸ πάσης ὑλικῆς περιπετείας καὶ ἀνθρωπίνης συναναστροφῆς. Βεβαίως τότε ὁλοσχερῶς τῷ Θεῷ τὸν νοῦν προσέχων ἀνεβίβαζεν εἰς τὰς θείας αὐτοῦ ἀκοὰς οὐ μόνον ὅσα ἐξήρχοντο τῶν χειλέων αὐτοῦ, ἀλλὰ καὶ ὅσα εὐσεβῶς καὶ καλῶς διενοεῖτο· αὕτη δ' ἐστὶν ἡ ἀληθὴς καὶ θεάρεστος

